UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

V. De Arii adversùs Alexandrum Episcopum contentione.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

## Κεφ. Ε'.

*Περὶ τῆς ἀρείου πρὸς ἀλέξανδρον τὸν ἐπίσκοπον φιλονεικίας.*

Μετὰ πέτρον τὸν γενόμενον ἐπίσκοπον ἀλεξανδρείας, τὸν καὶ ἐπὶ διοκλητιανοῦ μαρτυρήσαντα, διαδέχεται τὴν ἐπισκοπὴν ἀχιλλᾶς. μετὰ δὲ ἀχιλλᾶν, ἀλέξανδρος ἐπὶ τῆς μνημονευθείσης εἰρήνης. καὶ ἀδεέστερον διάγων, τὴν ἐκκλησίαν συνεκρότει· καί ποτε παρόντων τῶν ὑπ' αὐτῷ πρεσβυτέρων καὶ τῶν λοιπῶν κληρικῶν, φιλοτιμότερον περὶ τῆς ἁγίας τριάδος, ἐν τριάδι μονάδα εἶναι φιλοσοφῶν, ἐθεολόγει. ἄρειος δέ τις πρεσβύτερος τῶν ὑπ' αὐτῷ ταττομένων, ἀνὴρ οὐκ ἄμοιρος τῆς διαλεκτικῆς λέσχης, οἰόμενος τὸ σαβελλίου τοῦ λίβυος δόγμα εἰσηγεῖσθαι τὸν ἐπίσκοπον, ἐκ φιλονεικίας κατὰ διάμετρον εἰς τὸ ἐναντίον τῆς τοῦ λίβυος δόξης ἀπέκλινε, καὶ ὡς ἐδόκει, γοργῶς ὑπαπήντησε πρὸς τὰ παρὰ τοῦ ἐπισκόπου λεχθέντα· καί φησιν, εἰ ὁ πατὴρ ἐγέννησε τὸν υἱόν, ἀρχὴν ὑπάρξεως ἔχει ὁ γεννηθείς· καὶ ἐκ τούτου δῆλον, ὅτι ἦν ὅτε οὐκ ἦν ὁ υἱός· ἀκολουθεῖ τε ἐξ ἀνάγκης, ἐξ οὐκ ὄντων ἔχειν αὐτὸν τὴν ὑπόστασιν.

## Caput V.

*De Arii adversus Alexandrum Episcopum contentione.*

Post Petrum Alexandrinæ urbis Episcopum, qui Diocletiano regnante martyrium consummavit, Achillas Pontificatum ejus loci suscepit. Huic deinde successit Alexander, redditâ jam Christianis pace, quam supra commemoravimus. Hic ergo securius degens, Ecclesiam suam gubernabat. Forte quodam die, præsentibus suis presbyteris unà cum reliquo clero, de sacrosanctæ Trinitatis mysterio ambitiosius disputans, in Trinitate esse docebat unionem. Arius vero unus è numero presbyterorum, qui Alexandro parebant, vir artis dialecticæ minimè ignarus, ratus Episcopum Sabellii Libyci dogma inducere, ad opinionem, quæ cum Sabellii dogmate ex adverso pugnat, contentionis studio deflexit, iisque, quæ ab Episcopo dicta fuerant, acerbius, ut videbatur, occurrit, ita disputans. Si pater genuit filium, existendi initium habet is, qui genitus est. Ex quo manifestè liquet, fuisse aliquando tempus, cum non esset filius: & necessario conficitur, eundem ex nihilo subsistere.

## Κεφ. ς'.

*Ὡς ἐκ τῆς φιλονεικίας ἀρχὴν διαιρέσεως ἡ ἐκκλησία ἔλαβε· καὶ ὡς ἀλέξανδρος ὁ ἀλεξανδρείας, καθεῖλεν ἄρειον, καὶ τοὺς περὶ αὐτόν.*

Ταῦτα τῷ καινοπρεπεῖ λόγῳ συλλογισάμενος, ἀναρριπίζει τούτου πολλοὺς πρὸς τὸ ζήτημα. καὶ ἀνάπτεται ἀπὸ σμικροῦ σπινθῆρος μέγα πῦρ. ἀρξάμενόν τε τὸ κακὸν ἀπὸ τῆς ἀλεξανδρέων ἐκκλησίας, διέτρεχε τὴν σύμπασαν αἴγυπτόν τε καὶ λιβύην, καὶ τὴν ἄνω θηβαΐδα· ἤδη δὲ καὶ τὰς λοιπὰς ἐπενέμετο ἐπαρχίας τε καὶ πόλεις· συνελαμβάνοντο τῇ ἀρείου δόξῃ, πολλοὶ μὲν καὶ ἄλλοι, μάλιστα δὲ εὐσέβιος αὐτῆς ἀντείχετο, οὐχ ὁ καισαρεύς, ἀλλ' ὁ πρότερον μὲν τῆς βηρυτίων ἐκκλησίας ἐπίσκοπος, τότε δὲ τῆς ἐν βιθυνίᾳ νικομηδείας τὴν ἐπισκοπὴν ὑποδύς· ταῦτα ἀκούων καὶ ὁρῶν τε γινόμενα ὁ ἀλέξανδρος, πρὸς ὀργὴν ἐξάπτεται. καὶ συνέδριον πολλῶν ἐπισκόπων καθίσας, τὸν μὲν ἄρειον, καὶ τοὺς ἀποδεχομένους τὴν δόξαν αὐτοῦ καθαιρεῖ. γράφει δὲ τοῖς κατὰ πόλιν, τοιάδε.

## Caput VI.

*Quomodo ex contentione ortum est in Ecclesia dissidium; & quomodo Alexander Alexandriæ Episcopus Arium sectatoresq; ejus deposuit.*

Hæc ille novis atq; inauditis assertionibus cùm ita conclusisset, multos ad eam quæstionem excitavit. Atq; ex modica scintilla magnum subito extitit incendium. Ortum quippe ab Alexandrina Ecclesia malum, per universam Ægyptum & Libyam ac superiorem Thebaidem pervasit: tandem vero reliquas provincias ac civitates depastum est. Porro opinioni Arii complures quidem alii favebant: sed præ cæteris eam tuebatur Eusebius, non ille quidem Cæsariensis, sed alter, qui cùm ante Berytiorum fuisset Episcopus, tunc temporis ad Nicomediæ, quæ in Bithynia est, pontificatum irrepserat. Quæ cùm audiret ac cerneret Alexander, gravi exarsit ira: & collecto multorum Episcoporum Concilio, Arium & reliquos, qui sententiam ejus amplectebantur, gradu movit & Episcopis per singulas urbes constitutis scripsit in hunc modum.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN